ὑμεῖς δ᾽, ἵν᾽ αὑτὸς λόγος ἔχῃ μορφὰς δύο,
χωρεῖτε, Τρώων παῖδες, ὀρθίαν ὅταν
σάλπιγγος ἠχὼ δῶσιν ἀρχηγοὶ στρατοῦ,
πρὸς ναῦς Ἀχαιῶν, ὡς ἀποστέλλησθε γῆς.
σύ τ᾽, ὦ γεραιὰ δυστυχεστάτη γύναι,
ἕπου. μεθήκουσίν σ᾽ Ὀδυσσέως πάρα
οἵδ᾽, ᾧ σε δούλην κλῆρος ἐκπέμπει χθονός.

ΕΚ. οἳ ᾽γὼ τάλαινα· τοῦτο δὴ τὸ λοίσθιον
καὶ τέρμα πάντων τῶν ἐμῶν ἤδη κακῶν·
ἔξειμι πατρίδος, πόλις ὑφάπτεται πυρί.
ἀλλ᾽, ὦ γεραιὲ πούς, ἐπίσπευσον μόλις,
ὡς ἀσπάσωμαι τὴν ταλαίπωρον πόλιν.
ὦ μεγάλα δή ποτ᾽ ἀμπνέουσ᾽ ἐν βαρβάροις
Τροία, τὸ κλεινὸν ὄνομ᾽ ἀφαιρήσει τάχα.
πιμπρᾶσί σ᾽, ἡμᾶς δ᾽ ἐξάγουσ᾽ ἤδη χθονὸς
δούλας· ἰὼ θεοί. καὶ τί τοὺς θεοὺς καλῶ;
καὶ πρὶν γὰρ οὐκ ἤκουσαν ἀνακαλούμενοι.
φέρ᾽ εἰς πυρὰν δράμωμεν· ὡς κάλλιστά μοι
σὺν τῇδε πατρίδι κατθανεῖν πυρουμένῃ.

ΤΑ. ἐνθουσιᾷς, δύστηνε, τοῖς σαυτῆς κακοῖς.
ἀλλ᾽ ἄγετε, μὴ φείδεσθ᾽· Ὀδυσσέως δὲ χρὴ
εἰς χεῖρα δοῦναι τήνδε καὶ πέμπειν γέρας.

ΕΚ. ὀτοτοτοτοτοῖ.
Κρόνιε, πρύτανι Φρύγιε, γενέτα
πάτερ, ἀνάξια τᾶς Δαρδάνου
γονᾶς τάδ᾽ οἷα πάσχομεν δέδορκας;

ΧΟ. δέδορκεν, ἁ δὲ μεγαλόπολις
ἄπολις ὄλωλεν οὐδ᾽ ἔτ᾽ ἔστι Τροία.

ΕΚ. ὀτοτοτοτοτοῖ.
λέλαμπεν Ἴλιος περ-
γάμων τε πυρὶ καταίθεται τέραμνα

---

1271. *πάτρας B* 1273. *τῶν ἐμῶν ἤδη*] Musgravius, *ἤδη τῶν ἐμῶν* libri. 1277. *ἐμπνέουσ᾽* G *B ἀμπνέουσ᾽* celeri. 1289. *ἄξια* BC *ἄξιε* G *τᾶς δαρδάνου* B *τᾶσδε δαρδάνου* CG *τῆς δαρδανίου B* 1296. *τε* om. *B*